τὴν σοφίην σοφὸς εὐθύνει, τέχνας δ' ὁμότεχνος.
οὐ χωρεῖ μεγάλην διδαχὴν ἀδίδακτος ἀκουή·
οὐ γὰρ δὴ νοέουσ' οἱ μηδέποτ' ἐσθλὰ μαθόντες.
Μὴ δὲ τραπεζοκόρους κόλακας ποιεῖσθαι ἑταίρους·
πολλοὶ γὰρ πόσιος καὶ βρώσιός εἰσιν ἑταῖροι
καιρὸν θωπεύοντες, ἐπὴν κορέσασθαι ἔχωσιν,
ἀχθόμενοι δ' ὀλίγοις καὶ πολλοῖς πάντες ἄπληστοι.
Λαῶι μὴ πίστευε, πολύτροπός ἐστιν ὅμιλος·
λαὸς ⟨γὰρ⟩ καὶ ὕδωρ καὶ πῦρ ἀκατάσχετα πάντα.
Μὴ δὲ μάτην ἐπὶ πῦρ καθίσας μινύθηις φίλον ἦτορ.
μέτρα δὲ τεῦχ' ἔθ' ἑοῖσι· τὸ γὰρ μέτρον ἐστὶν ἄριστον.
γαῖαν ἐπιμοιρᾶσθαι ἀταρχύτοις νεκύεσσιν.
μὴ τύμβον φθιμένων ἀνορύξηις μηδ' ἀθέατα
δείξηις ἠελίωι καὶ δαιμόνιον χόλον ὄρσηις.
οὐ καλὸν ἁρμονίην ἀναλυέμεν ἀνθρώποιο·